Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 210



conjuncti, sicut ad Saul dicit Alienigena: 1. Reg. 17. *Date mihi virum, & descendamus in singulare certamen: & si percusserit me, erimus vobis servi: si autem ego percussero eum, vos servi nobis eritis.* Cum igitur hi seipsos manciparint voluntati ac voluptati inimici; quomodo belligerare inter se dici poterunt? Quodsi impugnantur; non tamquam de virtute solliciti decertant, sed eo inopiæ atque necessitatis adacti, & quidem merito, ab eo qui commercium conciliavit iniquitatis: unde & seipsos præcipitant, qui studium omne in ejusmodi collocant, talibusque acquiescentes, etiam dona conferunt, ac stipendia persolvunt, ut voluntatem ejus, qui ipsos decepit, perficiant. Quamobrem nulla in iis, ubi malum & scelus offenderint, est vis discernendi, aut continentia, aut a malo abstinentia. At Sanctorum bella atque certamina non sic se habent. Nam dum oppugnantur, resistunt: dum incontinentiæ flamma incenduntur, continentiæ remedium adhibent: ac dum vexantur, sustinent, ipsamque materiam præsentem aversantur propter timorem Domini. Illi vero oppugnantur, non quasi contraria tyranno sapiant; sed ut consueta vectigalia reddant, pravarumque voluptatum functiones exerceant. 2. Petr. 2. A quo enim quis superatus est, hujus & servus est. At ex certatoribus siquis etiam supplantatus fuerit, citius resurgit. Nam qui a Barbaris detinentur, & tyrannicæ subjecti sunt potestati, non omnes gaudent eorum servitute, a quibus sunt capti: sed ii, qui direptionibus & cædibus delectantur, hi soli læti ac hilares permanent absque vinculis atque carceribus, cum passione teneantur: quare & pro Barbaris pugnant, ac exploratores adversus contribules constituuntur: morum enim improbitate cum Barbaris copulantur. Qui vero super populatione ac desolatione consanguineorum anguntur, perditionemque animæ suæ lugent, hi fugere conantur, ægre ferentes impium illud vivendi genus, occasionemque observant recuperandi libertatem illam, qua olim fruebantur, & nulla cum adversariis benevolentia conspirant. Quare ex illorum manibus erepti, adversarii impiorum erunt, pietatis propugnatores facti. Tempus igitur pœnitentiæ instat: quare qui ab illa injuria, acerbaque servitute volunt liberari, resistere eos oportet voluntatibus tyranni, & oppugnare ipsum propter caritatem Creatoris. Tunc enim periculum præclari capient certaminis, virtutis sudores distillantes, quando non labiis dumtaxat, sed & cordis affectu ad eum dicent: notum sit tibi, Dia-

A δὴν, ὥς φησι τῷ Σαοὺλ ὁ Ἀλλόφυλος· δότε μοι ἄνδρα, καὶ μονομαχήσομεν, καὶ ἐὰν πατάξῃ με, ἐσόμεθα ὑμῖν εἰς δούλους· εἰ δὲ ἐγὼ πατάξω αὐτὸν, ἔσεσθε ἡμῖν εἰς δούλους. Τούτων οὖν ἤδη δούλων ἑαυτοὺς πεπραχότων τοῖς τοῦ Ἐχθροῦ θελήμασι καὶ ταῖς ἡδοναῖς, πῶς πόλεμος κληθείη τὰ κατ' αὐτούς; εἰ δὲ καὶ πολεμοῦνται, οὐχ ὡς ἀρετῆς ἀντιποιούμενοι, ἀλλ' ἀπορίᾳ εἰκότως τοῦ συναλλάσσοντος τὸ συνάλλαγμα τῆς B παρανομίας· ὅθεν καὶ ἑαυτοὺς ἐπιρρίπτουσιν οἱ πᾶσαν χολὴν περὶ τὰ τοιαῦτα ἔχοντες· καὶ ἐξαρεσκόμενοι προχαρίζονται, καὶ μισθοὺς παρέχουσιν, ἵνα τὸ θέλημα τοῦ ἀποπλανήσαντος αὐτοὺς ἐπιτελέσωσιν. Ὅθεν ἐπιτυχόντες τοῦ κακοῦ, οὐδεμία ἑαυτοῖς διάκρισις, ἢ ἐγκράτεια, ἢ τοῦ κακοῦ ἀποχή. Τῶν δὲ ἁγίων ὁ πόλεμος καὶ ὁ ἀγὼν οὐχ οὕτως· πολεμούμενοι γὰρ ἀντιπολεμοῦσιν, καὶ πυρούμενοι ἐγκρατεύονται, καὶ C θλιβόμενοι ὑπομένουσι, καὶ αὐτῆς τῆς ὕλης παρούσης ἀποστρέφονται διὰ τὸν φόβον τοῦ Κυρίου. Ἐκεῖνοι δὲ πολεμοῦνται, οὐχ ὡς τὰ ἐναντία φρονοῦντες τῷ Τυράννῳ, ἀλλ' ὅπως τοὺς συνήθεις φόρους ἀποδώσωσι, καὶ μὴ ἀνανεύωσι τὰς λειτουργίας τῶν κακῶν ἐπιθυμιῶν. Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. Τῶν δὲ ἀγωνιστῶν ἐάν τις καὶ ὑποσκελισθῇ, θᾶττον ἀνίσταται. Οἱ γὰρ συσχεθέντες ὑπὸ βαρ- D βάρων, καὶ ὑπὸ τυραννικὴν γενόμενοι χεῖρα, οὐ πάντες ἥδονται τῇ δουλείᾳ τῶν αἰχμαλωτισάντων, ἀλλ' ὅσοι τοῦ διαρπάζειν καὶ φονεύειν τοὺς ἀπαντῶντας προαιροῦνται· οὗτοι μόνοι γεγηθότες προσμένουσιν ἄνευ δεσμῶν καὶ φυλακῆς τὰ πάθη κρατούμενοι, ὅθεν καὶ ὑπερμάχονται τῶν βαρβάρων καὶ κατάσκοποι καθίστανται κατὰ τῶν ὁμοφύλων, ἥνωνται γὰρ τῷ κακίας ἤθει. Ὅσοι δὲ ἀνιῶνται ἐπὶ πορ- E θήσει καὶ ἐρημώσει τῶν ὁμογενῶν ἀπωλείᾳ τῆς ἑαυτῶν ψυχῆς πενθοῦντες, οὗτοι φεύγειν κατεπείγονται, δυσαρεστοῦντες ἐπὶ τῇ ἀθέσμῳ πολιτείᾳ, καὶ καιρὸν ἐπιτηροῦσι καταλαβεῖν ἐκείνην τὴν ἐλευθερίαν, ἧς ποτε ἀπέλαυον, καὶ οὐδεμίαν εὔνοιαν φέρουσι τοῖς ἐξεναντίοις· ὅθεν διασωθέντες τῆς χειρὸς ἐκείνων, ἀντίπαλοι ἔσονται τῶν ἀσεβῶν, σύμμαχοι γενόμενοι τῆς εὐσεβείας. Καιρὸς τοιγαροῦν τῆς F μετανοίας ὁ ἐνεστώς· ὅσοι τοίνυν βούλονται τῆς ὕβρεως ἐκείνης ἀπαλλαγῆναι, καὶ τῆς πικρᾶς δουλείας ἐλευθερωθῆναι, ἀντιτάξασθαι αὐτοὺς χρὴ τοῖς τοῦ Τυράννου θελήμασιν, καὶ πολεμεῖν αὐτὸν διὰ τὴν ἀγάπην τοῦ Δημιουργοῦ, τότε καὶ γὰρ λήψονται πεῖραν ἐναρέτου ἀγῶνος, τοὺς τῆς ἀρετῆς καταστάζοντες ἱδρῶτας, ὅταν μὴ χείλεσι μόνον εἴπωσι πρὸς αὐτὸν, ἀλλὰ διαθέσει καρδίας, γνωστὸν ἔστω σοι, Διά-

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0458
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg